ᾤχωκε νέον δ᾽ ἄνδρα βαΰζει
κοὔτε τις ἄγγελος οὔτε τις ἱππεὺς
ἄστυ τὸ Περσῶν ἀφικνεῖται·
οἵτε τὸ Σούσων ἠδ᾽ Ἀγβατάνων
καὶ τὸ παλαιὸν Κίσσιον ἕρκος
προλιπόντες ἔβαν,
οἱ μὲν ἐφ᾽ ἵππων, οἱ δ᾽ ἐπὶ ναῶν,
πεζοί τε βάδην
πολέμου στῖφος παρέχοντες·
οἷος Ἀμίστρης ἠδ᾽ Ἀρταφρένης
καὶ Μεγαβάτης ἠδ᾽ Ἀστάσπης,
ταγοὶ Περσῶν,
βασιλῆς βασιλέως ὕποχοι μεγάλου
σοῦνται, στρατιᾶς πολλῆς ἔφοροι,
τοξοδάμαντές τ᾽ ἠδ᾽ ἱπποβάται,
φοβεροὶ μὲν ἰδεῖν, δεινοὶ δὲ μάχην
ψυχῆς ἐν τλήμονι δόξῃ.
Ἀρτεμβάρης θ᾽ ἱππιοχάρμης,
καὶ Μασίστρης, ὅ τε τοξοδάμας
ἐσθλὸς Ἰμαῖος, Φαρανδάκης θ᾽,
ἵππων τ᾽ ἐλατὴρ Σοσθάνης.
ἄλλους δ᾽ ὁ μέγας καὶ πολυθρέμμων

13. *οἴχωκεν:* ἀπόλωλε γὰρ ἡ πᾶσα δύναμις τῶν Περσῶν. 16. *ἠδ᾽ Ἐκβατάνων:* ὅτι Ἀκεσσαία πρότερον ἐκαλεῖτο ἀπὸ Ἀκεσσαίου τὰ νῦν Ἐκβάτανα καλούμενα. 17. πόλις Περσῶν τὸ Κίσσινον. 21. τὸ πύκνωμα. ὄντες· ἢ τὸ πολέμου ἀντὶ τοῦ πολέμῳ. 22. ὑπέρθεσις διὰ τὸ μέτρον. 25. *βασιλῆς βασιλέως:* βασιλεῖς μὲν τῶν ἰδίων πόλεων, ὑποτεταγμένοι δὲ τῷ Πέρσῃ. ὕπαρχοι. 27. ἱππικοὶ καὶ τοξόται. 28. *φοβεροὶ μὲν ἰδεῖν:* ἐκ προσόψεως ἱκανοὶ φοβεῖν ὁμοίως καὶ ἐκ τῆς πείρας. 29. γνώμῃ, ἢ φιλοτιμίᾳ. ἐναλλοις ἐνυποστάτῳ (l. ἄλλως. ἐν ὑποστατικῇ) δοκήσει καὶ πείσματι ψυχῆς.

---

13. *ᾤχωκε* recc.: *οἴχωκε* M. fort. *νέων δ᾽ ἀμυδρὰ βάξις*. 16. *Ἀγβατάνων* Brunckius: *ἐκβατάνων* M. 17. *Κίσσιον* Blomfieldus: *κίσσινον* M. 19. *τοὶ μέν* Blomfieldus. *νηῶν* M. 23. *Μεγαβάτης* vel *Μεγαβάζης* recc.: *μεταβάτησ* M.